## Das Wasser ist der Ursprung von allem

*Thales führt als erster einen Urstoff, das Wasser, als Urgrund aller Dinge ein.*

Δεῖ γὰρ εἶναί τινα φύσιν ἢ μίαν ἢ πλείους μιᾶς, ἐξ ὧν γίγνεται τἆλλα σῳζομένης ἐκείνης. τὸ μέντοι πλῆθος καὶ τὸ εἶδος τῆς τοιαύτης ἀρχῆς οὐ τὸ αὐτὸ πάντες λέγουσιν, ἀλλὰ Θαλῆς μὲν ὁ τῆς τοιαύτης ἀρχηγὸς φιλοσοφίας ὕδωρ εἶναί φησιν - διὸ καὶ τὴν γῆν ἐφ' ὕδατος ἀπεφαίνετο εἶναι -, λαβὼν ἴσως τὴν ὑπόληψιν ταύτην ἐκ τοῦ πάντων ὁρᾶν τὴν τροφὴν ὑγρὰν οὖσαν καὶ αὐτὸ τὸ θερμὸν ἐκ τούτου γιγνόμενον καὶ τούτῳ ζῶν - τὸ δ' ἐξ οὗ γίγνεται, τοῦτ' ἐστὶν ἀρχὴ πάντων-, διά τε δὴ τοῦτο τὴν ὑπόληψιν λαβὼν ταύτην καὶ διὰ τὸ πάντων τὰ σπέρματα τὴν φύσιν ὑγρὰν ἔχειν·

Τὸ δ' ὕδωρ ἀρχὴ τῆς φύσεώς ἐστι τοῖς ὑγροῖς. εἰσὶ δέ τινες οἳ καὶ τοὺς παμπαλαίους καὶ πολὺ πρὸ τῆς νῦν γενέσεως καὶ πρώτους θεολογήσαντας οὕτως οἴονται περὶ τῆς φύσεως ὑπολαβεῖν·

Ὠκεανόν τε γὰρ καὶ Τηθὺν ἐποίησαν τῆς γενέσεως πατέρας καὶ τὸν ὅρκον τῶν θεῶν ὕδωρ, τὴν καλουμένην ὑπ' αὐτῶν Στύγα τῶν ποιητῶν· τιμιώτατον μὲν γὰρ τὸ πρεσβύτατον, ὅρκος δὲ τὸ τιμιώτατόν ἐστιν.

**τὸ πλῆθος** Menge, Anzahl - **ὁ ἀρχηγὸς** Begründer, Urheber - **ἡ ὑπόληψις** Annahme, Vermutung - **ὑγρός** feucht, nass
**τὸ σπέρμα** Same - **παμπάλαιος** uralt, ganz alt - **ἡ νῦν γένεσις** die jetzt lebende Generation - **θεολογέω** über die Götter reden, nach den göttlichen Dingen forschen - **τίμιος** wertvoll, angesehen

## Alles ist voll von Göttern

…Θαλῆς ᾠήθη πάντα πλήρη θεῶν εἶναι.